# ΠΕΡΙ ΓΕΝΕΣΕΩΣ,

## ΚΑΙ ΦΘΟΡΑΣ.

ΠΕρὶ τοιαύτην ἄρα καταγινόμεθα πραγματείαν, ἥτις καὶ μόνη τὸν ἡμέτερον νοῦν πολλῆς τῶν Φυσικῶν πραγμάτων ἐμπίπλησι γνώσεως. καὶ γὰρ τὰ περὶ γενέσεως ἤδη καὶ φθορᾶς τοῦ Σταγειρίτου βιβλία διερμηνεύειν ἐπιχειροῦμεν, ὧν ἡ κατ' ἀκρίβειαν εἴδησις μέρος ἐστὶ τὸ πλεῖστον τῆς περὶ Φύσεως ἐπιστήμης. ἐπειδὴ γὰρ τῶν φύσει συνεστώτων πάθη κυρίως εἰσὶ γένεσις καὶ φθορά, ἀλλοίωσις καὶ αὔξησις, ὡς παρακολουθοῦντα τῇ δεκτικῇ τῶν ἐναντίων ὕλῃ, ὁ ταῦτα καλῶς ἐπιστάμενος πολλῆς ὡς ἀληθῶς ἐμοίρησε τῆς τῶν Φυσικῶν πραγμάτων εἰδήσεως. καὶ γὰρ ἐντεῦθεν ὀρθῶς ἂν δύναιτο περὶ πλειόνων φυσιολογεῖν τῶν περὶ φύσεως προβλημάτων.

Τοιγαροῦν τοιαύτης ἀρξόμενοι σκέψεως, προθύμως καὶ φιλοπόνως ἐπιλαβώμεθα. ἐπειδὴ δὲ πάσης πραγματείας ἐστὶν ἅττα φιλεῖ προλέγεσθαι, ῥᾳοτέραν ἡμῖν διασκευάζοντα τὴν τῶν ῥηθησομένων κατάληψιν, καὶ ἡμεῖς οὐκ ἀπὸ σκοποῦ ποιήσομεν τέτταρά τινα τῶν πολλῶν, ἃ τοῖς νεωτέροις διὰ πλειόνων κακουργεῖται μᾶλλον, ἢ ἀναπτύσσεται, καὶ ταῦτα διὰ βραχέων ἐπισκοποῦντες, δηλονότι περὶ τοῦ ὑποκειμένου τῆς ἐπιγραφῆς, τῆς τάξεως, καὶ τῆς διαιρέσεως τῶν περὶ γενέσεως καὶ φθορᾶς βιβλίων τοῦ Φιλοσόφου.

### Σκέψις τῶν προκειμένων.

ΕΥθὺς οὖν ἐν αὐταῖς ταῖς βαλβῖσι τῆς πραγματείας διὰ μακρῶν οἱ νεώτεροι μάχονται περὶ τοῦ ὑποκειμένου τὰ αὐτόθεν ἐκφανῆ συγχέοντες τῇ περθείᾳ τῶν λόγων. οἱ μὲν γὰρ τοῦτον τὴν γένεσιν καὶ



ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘ... ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ... ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ... ΙΩΑΝΝΙΝΑ 2006

φθορὰν κοινότερον λαμβανομένας, ἤτοι ἁπλῶς τὴν καὶ τὰ εἶδος μεταβολήν, καθὸ περιέχειν οἴονται ἀλλοίωσίν τε, καὶ αὔξησιν, ὑποκείμενον ἀποφαίνονται τῶν ἐν χερσὶ βιβλίων, διισχυριζόμενοι τῇ τούτων ἐπιγραφῇ, ὡς ἀπὸ τοῦ ὑποκειμένου τεθείσῃ. εἶτα ἐκεῖνο φασὶν ἐστὶν ὑποκείμενον, οὗ αἱ ἀρχαὶ καὶ τὰ αἴτια ἀποδίδονται. ἀλλαμὴν ἐνταῦθα αἱ τῆς γενέσεως καὶ φθορᾶς ἀρχαὶ λέγονται, ἄρα αὗται εἰσὶ τὸ ὑποκείμενον τῆς παρούσης πραγματείας. ἀλλ' ὡς οὐκ ὀρθῶς οἱ τοιοῦτοι φιλοσοφοῦσι πᾶσιν ἂν εἴη δῆλον τοῖς γε ἐπιστήσασιν, ὅτι γένεσις καὶ φθορὰ πάθη εἰσὶ τοῦ φύσιν ἔχοντος, ἅπερ ἡ Φυσικὴ ἐπιστήμη κατὰ τοῦ ἰδίου ὑποκειμένου διὰ τῶν οἰκείων ἀρχῶν ἀποδείκνυσιν, ὡς ἴδιον ἐστὶ πάσης θεωρητικῆς ἕξεως. οὐ γὰρ ὃ δείκνυται ὑποκείμενον ἐστὶ, τοῦτο γὰρ ὅτι ἐστὶν ὑποτίθεται, ἀλλὰ τὸ καθ' οὗ δείκνυται τὰ πάθη. ὅτου δὲ χάριν ἡ παροῦσα πραγματεία οὕτως ἐπιγέγραπται εἰρήσεται κατωτέρω. οἱ δὲ ὑποκείμενον τῶν περὶ γενέσεως καὶ φθορᾶς βιβλίων τὸ φυσικὸν σῶμα φασὶν, εἴτε ἁπλοῦν, εἴτε μικτὸν, ἢ γενητὸν, ἢ φθαρτὸν, ἢ ἀλλοιωτὸν, ἢ αὐξητόν. οἵτινες καίπερ ἐγγύτερον τῆς τοῦ Φιλοσόφου διανοίας γίνονται, οὐ μὴν καθικνοῦνται τοῦ βάθους τῆς αὐτοῦ διδασκαλίας, ὡς ἔπειτα δηλωθήσεται. ἕτεροι δὲ ὑποκείμενον ἀποδιδόασι τὸ φυσικὸν σῶμα, ἢ κινητὸν κατ' εἶδος, εἴτε οὐσιωδῶς, εἴτε ἐπουσιωδῶς, ἀφορίζοντες τὸν τόπον, ὃν ἐξαθεό φασιν ἐπισυμβαίνειν τοῖς πράγμασι. ταυτηνὶ τὴν δόξαν οἱ πλείους πρεσβεύουσι τῶν νεωτέρων, καίτοι τοῖς πρότερον διαφερόμενοι περὶ ὀνομάτων μόνον, ἀλλ' οὐ πραγμάτων, ἐρείδονται δὲ λόγοις τοιούτοις. τὸ γὰρ ὑποκείμενόν ἀνάγκη φασὶ περιέχειν ἅπαντα τὰ κατὰ μέρος ἐνταῦθα θεωρούμενα, ὡς δὴ καὶ τοῦτο αὐτὸ περιέχεσθαι δεῖ ὑπὸ τοῦ ὁλοκλήρου τῆς ἐπιστήμης ὑποκειμένου, τοιοῦτον δὲ ἐστὶ τὸ ἀποδοθὲν ὑποκείμενον. περιλαμβάνεται γὰρ ἐν τῷ ὁλοκλήρῳ ἐπιστητῷ γένει τῆς Φυσικῆς ἐπιστήμης, πρὸς δὲ καὶ περιέχει πάντα τὰ ἐν τῇ παρούσῃ πραγματείᾳ θεωρούμενα, ἐν οἷς οὐ μόνον περὶ τῶν ἁπλῶν σωμάτων, ἀλλὰ καὶ περὶ τῶν μικτῶν ὁ λόγος. ἡ γὰρ γένεσις καὶ φθορὰ, καὶ ὅσα παθῶν ἐνταῦθα δείκνυται, τοῖς ἁπλοῖς οὐχ ἧττον ἢ μικτοῖς σώμασι προσήκει. ἀλλ' οὗτοι μὲν πόῤῥω τῆς τοῦ Φιλοσόφου διανοίας πλανῶνται. καίτοι γὰρ τὸ τοιοῦτον ὑποκείμενον προσαρμόζεται καλῶς τῇ περὶ γενέσεως καὶ φθορᾶς ἐπιστήμῃ, ὡς μέρει τῆς ὅλης Φυσικῆς γενέσεως, ἥκιστά γε προσάπτεται τοῖς παροῦσι βιβλίοις τοῦ Σταγειρίτου, ὧν ζητεῖται τὸ ὑποκείμενον, δηλονότι περὶ τίνος σκοπὸς τῷ Φιλοσόφῳ τὴν διδασκαλίαν ἐν τούτοις ποιῆσαι. ἀρχόμενοι τοίνυν ἄνωθεν ἐρευνήσωμεν τὴν ἀκολουθίαν τῆς τοῦ Φιλοσόφου διδασκαλίας. ἐπειδὴ τοιγαροῦν σκοπὸς τῷ Φιλοσόφῳ ἦν, ἐν τῇ περὶ γενέσεως ἐπιστήμῃ, τοῦ φύσιν ἔχοντος, ἀρχάς τε καὶ πάθη

παί-

ΙΩΑΝΝΙΝΑ 2006

πάντα δείξειν ἁρμοδίως διασαφήσασθαι, ἐν μὲν τοῖς περὶ Φυσικῆς Ἀκροάσεως τὰς ἀρχὰς ἀπεφήνατο τὰς πρώτας τῶν ἐχόντων φύσιν, καίπερ ὁμωνύμως πρός τε τὰ αἰθέρια σώματα, καὶ τὰ ὑπὸ Σελήνην. ταῦτα γὰρ διαφέροντα τῷ γένει, οὐκ ἂν ἔχοιεν ἀρχὰς ὁμογενεῖς, ὡς μὴ δυνάμενα ἀπὸ τῶν αὐτῶν ἀρχῶν, τὰ μὲν ἐν φθορᾷ καὶ ῥοῇ, τὰ δὲ μένειν ἐν ἀφθαρσίᾳ, καὶ ἀϊδιότητι, εἶτα καὶ τὰ πάθη ὅσα κοινῶς ἅπασι προσήκουσι τοῖς φύσει συνεστῶσιν ἀνεπτύξατο, ἀρχόμενος ἀπὸ τῆς κινήσεως ὡς ἀγνοείσης τῆς φύσεως, καὶ πρωτευούσης τῶν αὐτῆς ἰδίων, τόπον τε καὶ χρόνον, καὶ ἄλλα τοιαῦτα ἀλληλενδέτῳ πλοκῇ τοῦ λόγου, τί τε εἰσὶ δεικνύων, καὶ ὅπως ἕπονται τῇ φύσει. τέλος ἐπαναλαβὼν τὸν περὶ κινήσεως λόγον πολλά τε ταύτης ἰδιώματα παρέδωκε, καὶ φυσ. τοῖς ἀποδεδειγμένοις ἐπερειδόμενος περὶ τοῦ πρώτου κινοῦντος, καὶ τῆς ἀϊδίου κινήσεως, κάλλιστα ἐν τῷ ὑστάτῳ τῆς Φυσικῆς Ἀκροάσεως ἐπραγματεύσατο, ἐν δὲ τοῖς ἑξῆς βιβλίοις βουλόμενος τὰς ἀποδοθείσας ἀρχάς τε καὶ πάθη διασκέψασθαι, εἴσιτε τῶν φύσιν ἐχόντων, καὶ τῷ τρόπῳ προσήκουσι, πρῶτον ἐν τοῖς περὶ Οὐρανοῦ λεγομένοις βιβλίοις τὰ ἁπλᾶ σώματα θεωρεῖ, ἃ συνιστῶντα τὸ πᾶν. ἐπειδὴ γὰρ τοῦτο εἱρμῷ συντέτακται, καὶ τάξει τῶν οἰκείων μερῶν, ἡ δὲ τάξις ἀναφύεται ἑκάστου τῶν μερῶν ἐν οἰκείῳ τόπῳ σωζομένου, ὀρθῶς ὁ Φιλόσοφος ἐν τοῖς βιβλίοις τούτοις περὶ τῶν στοιχείων ἃ τὸ πᾶν συνιστῶσι τοὺς λόγους ποιεῖται, τούς τε τόπους αὐτῶν ἀποφηνάμενος, καὶ τὰς κινήσεις, δι' ὧν εἰς ἐκείνους φέρεται, καὶ τὸ μὲν ἀεικίνητόν τε καὶ ἀμετακίνητον σῶμα, τὸ τῇ κύκλῳ φορᾷ περὶ τὸ αὐτὸ κέντρον εἱλισσόμενον ἀδιακόπως, ὃ δὴ καὶ ἁπλῆν ἔλεγεν οὐσίαν, οὐχ ὡς ὕλην μόνον, ἢ εἶδος ὄν, ἀλλ' ὡς πέμπτην καὶ ἑτέραν τῶν ὑπὸ Σελήνην, καίτοι σύνθετον ἐξ ὕλης καὶ εἴδους πολλῷ τῶν ἐνταῦθα τιμιωτέραν ἐν τῷ πέριξ κατεστήσατο, καὶ ἀνωτέρω ὡς ὑπερανεστηκὸς καὶ δεσπόζον τῶν ὑπὸ Σελήνην, αὐτοῖς τε γενόμενον τοῖς μὲν ἀϊδιότητος τῆς κατὰ τὸ εἶδος αἴτιον τῇ ἁπλῇ, καὶ ὁμαλῇ, καὶ συνεχεῖ, καὶ ἀϊδίῳ κινήσει, τῆς δὲ γενέσεως καὶ φθορᾶς τῇ ἐπὶ τοῦ λοξοῦ κύκλου πορείᾳ τῶν πλανητῶν, ἄλλοτε ἄλλως ἐχόντων πρὸς ἡμᾶς, ὑπὸ δὲ τοῦτο τὸ πῦρ ἐτάξατο ὡς ἐπιπολάζον τοῖς λοιποῖς ὑπὸ κουφότητος, ἐν αὐτῷ δὲ τῷ κέντρῳ τὴν γῆν ἔθετο, ὡς οἰκειοποιοῦσαν ἑαυτῇ τῇ ἐσχάτῃ βαρύτητι τὸν κατωτάτω τόπον, μεταξὺ δὲ τούτων ὕδωρ τε καὶ ἀέρα παρατίθεται μέσην ἔχοντα τάξιν, καὶ συνδέοντα τὰ ἄκρα, ἵνα μὴ παρεμπέσηται κενόν, καὶ διασπάσῃ ταῦτα, ἢ ἀμέσως συναφθέντα εἰς βίαιον περιπλέκηται μάχην. καὶ ταῦτα μὲν καὶ τὰ παρεπόμενα τούτοις ἐν τοῖς περὶ Οὐρανοῦ διέξεισι, καίτοι ἀπὸ τοῦ κυριωτέρου ποιησάμενος ἐπιγραφὴν τῇ πραγματείᾳ, παρεμφερῶς ἄρα ἐν τοῖς παροῦσι βιβλίοις λόγος αὐτῷ περὶ τῶν στοιχείων, ἢ δυνάμενα με-

περιβαλεῖν κατά τι εἶδος ἐγγινόμενον αὐτοῖς, ταυτὸν δὲ ἐστὶν εἰπεῖν ἢ γενητὰ καὶ φθαρτὰ, καὶ ἀλλοιωτὰ, καὶ αὐξητὰ, ἵνα μὴ τὸν περὶ στοιχείων, καὶ ὑπὸ Σελήνην ἁπλῶν σωμάτων λόγον ἀτελῆ παραλιπὼν (περὶ γὰρ τῶν αἰθερίων ἀποχρώντως αὐτῷ λέλεκται) ἐπ' ἄλλ' ἄττα μεταπηδήσῃ, ὥστε διασπᾶσθαι τὴν τούτου διδασκαλίαν, ἣν ἅπαντες συνεχῆ τε καὶ ἀκόλουθον εἶναι προσβουλόμεθα, καὶ τὸ πρότερον ἀεὶ τὸν ἑπόμενον ἐξηρτῆσθαι λόγον, θαυμάσιόν τινα τρόπον διαπλεκόμενον, αὐτὸ δὲ τοῦτο πολλαχοῦ ἐδίδαξεν ὁ Φιλόσοφος αὐτολεξί. πρώτῳ γὰρ περὶ αἰσθήσεως καὶ αἰσθητοῦ, κεφαλαίῳ τετάρτῳ, καὶ δευτέρῳ περὶ ψυχῆς, μορίῳ ρκζ΄. περὶ στοιχείων ὀνομάζει τὴν παροῦσαν πραγματείαν. συνᾴδει δὲ καὶ Ἀλέξανδρος ὁ γνήσιος ἑρμηνευτὴς τῶν Ἀριστοτελικῶν συγγραμμάτων ἐν ἀρχῇ τῶν μετεώρων, καὶ Ἀβεῤῥόης ὁ μετὰ τοὺς Ἕλληνας ἄριστα φυσιολογήσας ἐν τῷ πρώτῳ περὶ οὐρανοῦ. πρὸς ὃ δὲ ἀντιφέρουσιν, ὅτι λόγος ἐνταῦθα τῷ Φιλοσόφῳ οὐ περὶ τῶν ἁπλῶν μόνων, ἀλλὰ καὶ περὶ τῶν μικτῶν σωμάτων, ἅπερ οὐχ ἧττον εἰσὶ γενητὰ, καὶ φθαρτὰ, μάλιστα δὲ ὅτι ἡ τῆς μίξεως θεωρία τοῖς μικτοῖς μόνοις σώμασι προσαρμόζει, ῥαδίως ἀπαντῶμεν, ὅτι ὀρθῶς ὁ Φιλόσοφος τὴν τῆς μίξεως διδασκαλίαν ἐνταῦθα παραδίδωσιν. ἡ γὰρ μίξις ἠλλοιωμένων, καὶ ἑνωμένων τῶν στοιχείων γίνεται, αὐτὰ δὲ τὰ μικτὰ γενητά εἰσι καὶ φθαρτὰ τῷ λόγῳ τῶν ἀρχῶν ἐξ ὧν συνετέθη. περὶ δὲ τῆς ἐπιγραφῆς ἰστέον, ὅτι ἡ παροῦσα πραγματεία ἀπὸ τῆς γενέσεως καὶ φθορᾶς ἐπιγέγραπται. ἔθος γὰρ ἐστὶ τῷ Φιλοσόφῳ ἀπὸ τοῦ κυριωτάτου προσαγορεύειν τοὺς οἰκείους λόγους. ἐπέχει δὲ τὰ βιβλία ταῦτα, ὡς καὶ ἀνωτέρω ἐλέγετο τρίτην χώραν ἐν τοῖς Φυσικοῖς. καὶ γὰρ ἐν μὲν τοῖς περὶ Φυσικῆς Ἀκροάσεως περί τε ἀρχῶν, καὶ τῶν κοινοτάτων παθῶν τοῦ Φυσικοῦ σώματος εἴρηται, χρόνου, τόπου, καὶ κινήσεως. ἐν δὲ τοῖς περὶ οὐρανοῦ τέσσαρσι βιβλίοις περὶ τῶν πέντε ἁπλῶν σωμάτων τῶν συνιστώντων τὸ πᾶν. ἑξῆς δὲ ἐν τοῖς προκειμένοις δυσὶ βιβλίοις περὶ τῶν αὐτῶν ἁπλῶν σωμάτων, ἃ τούτων τὰ πλεῖω γίνεταί τε καὶ φθείρεται, καὶ ποικίλαις συγκράσεσιν αἴτια γίγνεται τῶν μικτῶν, τὸ δὲ πέμπτον καὶ αἰθέριον ποιητικὸν ἐστὶν αἴτιον γενέσεώς τε καὶ φθορᾶς, καὶ μίξεως, καὶ πάσης μεταβολῆς. ὥσπερ δὲ ἐν τοῖς περὶ Οὐρανοῦ κυρίως περὶ τῶν οὐρανίων σωμάτων διατρίβει, ὡς μέρος ὄντος κυριώτατον τοῦ παντὸς, οὕτως ἐνταῦθα περὶ τῶν ὑπὸ Σελήνην σωμάτων πρώτως ὡς ὄντων γενητῶν καὶ φθαρτῶν τοὺς λόγους προβάλλεται. τελευταῖον τῶν ζητουμένων ἐστὶν ἡ διαίρεσις τῆς παρούσης πραγματείας, ἥτις εἰς δύο τέμνεται βιβλία, ὧν τὸ πρῶτον οἷον ἔφοδός ἐστιν εἰς τὸ δεύτερον. ἐν τούτῳ γὰρ ἁπλῶς περὶ γενέσεως καὶ φθορᾶς, ἀλλοιώσεώς τε καὶ αὐξήσεως, ἐνεργείας τε καὶ πάθους, καὶ μίξεως καὶ ἁφῆς τῶν σωμάτων τὴν

σκέ-

Ε.Ο.Ψ.Κ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

σκέψιν ποιησάμενος, ἑξῆς ἐν τῷ δευτέρῳ κατὰ τῶν στοιχείων δείκνυσι ταῦτα περί τε τῆς γενέσεως καὶ φθορᾶς αὐτῶν, καὶ τῆς τούτων εἰς ἄλληλα μεταβολῆς, ἔτι δὲ καὶ ὡς ἐκ τούτων τὰ ὑπὸ ἅπαντα σύγκειται γινόμενα, καὶ φθειρόμενα εἰς αὐτά. οὐκ ἀπεικότως δὲ ὁ ἀφροδισιεὺς Ἀλέξανδρος τὸ τέταρτον περὶ μετεώρων βιβλίον τούτοις οἴεται συναπτέον. ὁ αὐτὸς γὰρ σκοπὸς τοῦ Φιλοσόφου ὥστε τοῖς παροῦσι καὶ ἐν ἐκείνῳ τὰς τῶν στοιχείων ποιότητας ἐξακριβῶσαι. ὅθεν εἰ καί τις περὶ τῆς ἐκείνου χώρας ἐριστικῶς φιλονεικήσῃ, ἀλλ' ὅμως τῷ τε ὑποκειμένῳ καὶ τῷ σκοπῷ, ὥς γε καλῶς ὁ Ἀλέξανδρος φρονεῖ, τοῖς παροῦσι βιβλίοις ἄριστα συναρμόζεται. ταῦτα δὴ διὰ βραχέων εἰρήσθω περὶ τῶν προλεγομένων τῆς πραγματείας ταύτης.

# ΒΙΒΛΙ'ΟΝ ΠΡΩ'ΤΟΝ.

ΤΟ' πρῶτον βιβλίον οὑτωσὶ διανενέμηται τοῖς ἑρμηνευταῖς τοῦ Φιλοσόφου ἐν τοῖς δυσὶ πρώτοις κεφαλαίοις. ἐκτεθέντος τοῦ σκοποῦ τῆς προκειμένης πραγματείας αἱ δόξαι τῶν ἀρχαίων περὶ γενέσεως καὶ φθορᾶς ἐξετάζονται. ἵνα ἐκ τούτων τὰ μὲν ψευδῆ ἀποκρούσηται, πορίσηται δὲ ἑαυτῷ τὰ εἰκότα ὁ Φιλόσοφος, ὃς καὶ ἄλλοθι ἔλεγεν. „ ἀναγκαῖον ἅμα διαποροῦντες περὶ ὧν ἀπορεῖν δεῖ, προελθόντας τὰς τῶν προτέρων δόξας συμπαραλαμβάνειν, ὅσοι τί περὶ αὐτῆς ἀπεφήναντο, ὅπως τὰ μὲν εἰρημένα καλῶς λάβωμεν, εἰ δὲ μή τι καλῶς, τοῦτο εὐλαβηθῶμεν. καὶ ἐν τῷ πρώτῳ περὶ Οὐρανοῦ, τεμμαχίῳ ρα'. αἱ γὰρ τῶν ἐναντίων ἀποδείξεις, ἀπορίαι περὶ τῶν ἐναντίων εἰσίν, ἅμα δὲ καὶ μᾶλλον ἂν εἴη πιστὰ τὰ μέλλοντα λεχθήσεσθαι προακηκοόσι τὰ τῶν ἀμφισβητούντων λόγων δικαιώματα. τὸ γὰρ ἐρήμην καταδικάζεσθαι δοκεῖν, ἧττον ἂν ἡμῖν ὑπάρχοι. καὶ γὰρ δεῖ διαιτητάς, ἀλλ' οὐκ ἀντιδίκους εἶναι, τοὺς μέλλοντας τἀληθὲς κρίνειν ἱκανῶς. καὶ μὴν ἐπειδὴ μεγίστη τῶν ἀρχαίων ἡ ὑπόληψις καὶ περιφανὴς ἐνίδρυται ταῖς τῶν νεωτέρων ψυχαῖς, ἄτοπόν ἐστιν ὑπερηφάνως τὰ οἰκεῖα προτίθεσθαι δόγματα, μηδεμίαν ἐκείνων μνείαν πεποιηκότας. τοῦτο τοίνυν ἐν τοῖς δυσὶ πρώτοις κεφαλαίοις διαπέπρακται τῷ Φιλοσόφῳ διαιτῶντι τὰς τῶν ἀρχαίων διαφοράς. ἐν δὲ τῷ τρίτῳ καὶ τετάρτῳ κεφαλαίῳ οἴκοθεν ἄρχεται τούς τε λόγους τῆς γενέσεως καὶ φθορᾶς ἀποδιδόναι, καὶ ἀναπτύξαι τῷ τρόπῳ διαφέρουσι τῆς ἀλλοιώσεως, ὥσπερ ἀκολούθως καὶ πάντων τῶν λοιπῶν ἀφορίζει κινήσεων. ἐν δὲ τῷ πέμπτῳ περὶ αὐξήσεως καὶ μειώσεως ποιεῖται τὴν διδασκαλίαν, διδάσκων ταύτας διενηνοχέναι τῶν ἄλλων μεταβολῶν. ἐπειδὴ δὲ οὔτε γένεσις, ἢ φθορά, ἢ ἀλλοίωσις, ἢ αὔξησις, ἢ μείωσις, ἄνευ ἐνεργείας τε καὶ πάθους γίνεται, ἐν τοῖς λοιποῖς καὶ ἐν ὅλῳ τῷ ἐννάτῳ κεφαλαίῳ τὸν περὶ τούτων λόγον προτείνει. προσέτι δὲ καὶ περὶ ἀφῆς παραλαμβάνει τὴν ζήτησιν, ὡς μὴ δυναμένων τῶν σωμάτων ποιεῖν, ἢ πάσχειν ἄνευ ταύτης. ἐν δὲ τῷ τελευταίῳ καὶ δεκάτῳ κεφαλαίῳ ὁ λόγος αὐτῷ περὶ μίξεως, καὶ τούτοις τοῖς μέρεσι τὸ πρῶτον συμπληροῦται βιβλίον τοῦ Σταγειρίτου.



ΙΩΑΝΝΙΝΑ 2006

# ΠΑΡΑΦΡΑΣΙΣ ΤΟΥ ΠΡΩΤΟΥ ΚΕΦΑΛΑΙΟΥ.

Περὶ μὲν οὖν τῶν στοιχείων, ἢ ἄνω καὶ κάτω κινεῖται βαρύτητι καὶ κουφότητι, καὶ εἰς αὖ τόπους ἐπέχη ἡμῖν ἀφωρίσαι ἀποδεικτικῇ μεθόδῳ, περὶ δὲ γενέσεως καὶ φθορᾶς τῶν φύσει γινομένων, καὶ φθειρομένων, οὐ κατὰ τέχνην, οἷον οἰκία, καὶ ναῦς, οὐδὲ κατὰ προαίρεσιν, οἷον ἔχθρα καὶ φιλία, ἀλλὰ φύσει, οἷα εἰσὶ τὰ ἐξ ὕλης καὶ εἴδους συνθέτα. οὐκ ἐνίων ὅμως, ἀλλὰ περὶ πάντων καθόλου καὶ κοινῇ, κατὰ μέρος γὰρ εἰρήσεται ἐν τοῖς μετεωρολογικοῖς, καὶ τοῖς περὶ ζώων καὶ φυτῶν, τάς τε τέτταρας αἰτίας, ὑλικήν τε καὶ εἰδικήν, ποιητικήν τε καὶ τελικήν, καὶ τοὺς ὁριστικοὺς λόγους αὐτῶν διακριτέον. ἔτι δὲ περὶ αὐξήσεως καὶ ἀλλοιώσεως τί ποτε ἐστὶν ἑκάτερον, καὶ πότερον ὥσπερ διενήνοχε τοῖς ὀνόμασι τῆς γενέσεως ἡ ἀλλοίωσις, οὕτω καὶ ταῖς φύσεσι διΐσταται, ἢ τοῖς μὲν ὀνόμασι διώρισται, καὶ τῷ δοκοῦντι παρήλλακται, τὴν αὐτὴν δὲ ἔχει φύσιν καὶ πράγματι ταυτόν ἐστι σκεπτέον. εἴδωμεν δὲ πρότερον τάς τε τῶν ἀρχαιοτέρων δόξας, ἵνα τί τούτων εἴρηται καλῶς, τί δὲ φαύλως εὕρωμεν. τούτων γὰρ οἱ μὲν τὴν ἁπλῆν γένεσιν, δι᾽ ἧς οὐσιωδῶς γίνεται τὰ πράγματα, οὐδαμῶς διορίζουσι τῆς ἀλλοιώσεως, ἀλλ᾽ ἓν εἶναι φασὶ τῇ ἀληθείᾳ. οἱ δὲ τὴν ἀλλοίωσιν καὶ γένεσιν ὡς ἕτερα τῇ φύσει διακρίνουσι. ὅσοι μὲν γὰρ τὸ πᾶν ἓν εἶναι λέγουσι, καὶ πάντα ἐξ ἑνὸς στοιχείου γεννῶσιν ὡς ἐκ πρώτης ἀρχῆς, ἐξ ἀνάγκης εἰς ταυτὸν συγχέουσι γένεσιν καὶ ἀλλοίωσιν, καὶ τὸ ἁπλῶς γινόμενον ἀλλοιοῦσθαι φασίν. ἀδύνατον γὰρ ἐστὶ τούτους τὴν ἁπλῆν ἀποδέχεσθαι γένεσιν. αὐτὸ γὰρ τὸ πρῶτον, ἐξ οὗ γίνεται τὰ πάντα, οὐκ ἂν εἴη κυρίως γεννητὸν, ἢ οὐκ εἴη τὸ πρῶτον. μᾶλλον γὰρ ἐκεῖνο πρῶτον, ἐξ οὗ τὸ τοιοῦτον γίνεται. ἓν δὲ στοιχεῖον τοῦ παντὸς ἔλεγον. ὡς ὁ Θαλῆς μὲν τὸ ὕδωρ τιθέμενος, Ἀναξιμένης δὲ καὶ Διογένης τὸν ἀέρα, Ἀναξίμανδρος δὲ τὴν μεταξὺ φύσιν ἀέρος καὶ ὕδατος. Ἡράκλειτος τὸ πῦρ. ὅσοι δὲ πλείω τὰ πρῶτα στοιχεῖα τιθέασιν, ἐξ ὧν ἐν ὕλης λόγῳ τὰ πάντα γίνεται, οἷον Ἐμπεδοκλῆς καὶ Ἀναξαγόρας καὶ Λεύκιππος, διακρίνουσι γενέσεως ἀλλοίωσιν. ὧν ὁ μὲν Ἐμπεδοκλῆς τὰ τέτταρα στοιχεῖα ὑπέθετο πάντων ὕλην. ὁ δὲ Ἀναξαγόρας τὰς ἀπείρους ἀτόμους διαφερούσας τῷ εἴδει, ἃς ὁμοιομερείας ἐκάλει. ὁ δὲ Λεύκιππος ἅμα τῷ Δημοκρίτῳ σχήματι καὶ μεγέθει διαφέροντα ἄπειρα, ἄτομα στοιχεῖα τῶν γινομένων ἐνόμιζε. καίτοι Ἀναξαγόρας οὐκ ὀρθῶς τὴν γένεσιν, καὶ φθορὰν συνέχει τῇ ἀλλοιώσει, καὶ εἰς ταυτὸν ἦγεν. οὗτος



ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

γὰρ τὰ ὁμοιομερῆ ἀμετάβλητά τε ὄντα, καὶ ἄπειρα πρῶτα στοιχεῖα ἐποίει, τῇ συγκρίσει καὶ διακρίσει γεννῶν τὰ πάντα. ὥστε δυνάμενος διακρῖναι τὴν ἀλλοίωσιν τῆς γενέσεως καὶ φθορᾶς, μὴ ποιήσας τούτων διαφορὰν ἠγνόησε τὴν οἰκείαν φωνήν. ὁ δὲ Ἐμπεδοκλῆς διαφέρει τῶν ἄλλων, ὅτι τὰ μὲν σωματικὰ στοιχεῖα τὰ ἔχοντα λόγον ὕλης ἐν τῇ γενέσει τέτταρα ἐτίθετο, δύω δὲ τὰ ποιητικὰ καὶ κινοῦντα τὸ νεῖκος, καὶ τὴν φιλίαν, ὡς ἓξ εἶναι τὸν ἀριθμόν. ὡσαύτως δὲ καὶ Ἀναξαγόρας διενήνοχε Λευκίππου, καὶ Δημοκρίτου. πάντες γὰρ ἄπειρα τὰ πρῶτα στοιχεῖα τιθέμενοι, Ἀναξαγόρας μὲν τὰ ὁμοιομερῆ στοιχεῖα ἐποίει, οἷον ὀστοῦν καὶ σάρκα, καὶ μυελὸν, καὶ τῶν ἄλλων, ὅσα ὁμοιομερῆ λέγεται, ὅτι τὰ μέρη τούτων ἑκάστου συνώνυμά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις, εἴδει τῶν ἄλλων μὲν διαφέροντα, ἑαυτοῖς δὲ ἐξομοιούμενα, Δημόκριτος δὲ καὶ Λεύκιππος ἐκ σωμάτων ἀδιαιρέτων τὰ ἄλλα συντιθέντες, ταῦτα ἔλεγον ἄπειρα, καὶ τῷ πλήθει καὶ τοῖς σχήμασιν. αὐτὰ δὲ τὰ συγκείμενα ἐκ τῶν ἀτόμων πρὸς αὐτὰ διαφέρειν ἔφασκον τρόποις τρισί. πρῶτον μὲν τοῖς τοῖς ἀτόμοις, ἐξ ὧν εἰσὶν, οἷον πῦρ διαφέρειν γῆς, ὅτι οὐκ ἐκ τῶν αὐτῶν ἀτόμων συνίσταται, ἀλλ' ἡ μὲν ἐκ κυβικῶν, τὸ δὲ σφαιρικῶν. δεύτερον τῇ θέσει, ὥσγε διαφέρει τὸ Ζ̄ τοῦ Ν, καὶ τὸ γ̄ τοῦ λ̄, ταῦτα γὰρ τῇ θέσει μόνον διενηνόχατον, καὶ τρίτον τῇ τάξει. οἷον ὁπηνίκα τὰ ἐκ τῶν ἀτόμων συντιθέμενα, τὸ μὲν ἔχει τὰ ἔμπροσθεν ἐκ πλαγίων, ἐξ ὑπτίων δὲ τὰ ὄπισθεν, τὸ δὲ ἀνάπαλιν. ἐναντίως δὲ δοξάζουσιν οἱ περὶ Ἀναξαγόραν τοῖς περὶ Ἐμπεδοκλέα. ὁ μὲν γὰρ Ἐμπεδοκλῆς τὰ τέσσαρα στοιχεῖα, πῦρ, καὶ ὕδωρ, καὶ ἀέρα, καὶ γῆν, πρῶτά τε εἶναι, καὶ ἁπλᾶ μᾶλλον φησὶν, ὡς ἐκ τῆς συγκρίσεως τούτων γινομένων τῶν ὁμοιομερειῶν, οἷον σαρκὸς καὶ ὀστοῦ. ἃ καὶ σύνθετα εἶναι διδάσκει. ὁ δὲ Ἀναξαγόρας ἔμπαλιν, ἁπλᾶ μὲν ὀστοῦν καὶ σάρκα, καὶ τὰ ὁμοιομερῆ πάντα, σύνθετα δὲ τὰ τέσσαρα στοιχεῖα, ὡς πανσπερμίαν ὄντα τῶν ὁμοιομερειῶν. οἱ μὲν οὖν ἐξ ἑνὸς στοιχείου πάντα κατασκευάζοντες τὴν γένεσιν καὶ φθορὰν ἐξ ἀνάγκης ἀλλοίωσιν εἶναι λέγουσιν. ἀεὶ γὰρ μένει τὸ πρῶτον ὑποκείμενον ταὐτὸ καὶ ἓν ὡς ἀγέννητον. πᾶσαν δὲ μεταβολὴν ὑπομένοντος τοῦ ὑποκειμένου τοῦ αὐτοῦ καὶ ἑνὸς ἀλλοίωσιν εἶναι φαμέν. ὥστε κατὰ τούτους ἡ γένεσις καὶ φθορὰ ἀλλοιώσεως οὐ διαστέλλεται. οἱ δὲ πλείω τὴν ὕλην ποιοῦντες καταναγκάζονται διακρίνειν τὴν ἀλλοίωσιν τῆς γενέσεως. συγκρινομένων γὰρ καὶ συνιόντων ἡ γένεσις ἀποτελεῖται. διασπωμένων δὲ καὶ διαλυομένων ἡ φθορά. διὸ λέγει τὸν τρόπον τοῦτον καὶ Ἐμπεδοκλῆς αὐτός.

„ Φύ-

Ε.Σ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ Φύσις οὐδενός ἐστιν, ἀλλὰ μόνον μίξις τε,
διάλλαξίς τε μιγέντων.

Τοῦτέστι μηδενὸς συνθέτου ἰδία φύσις ἐστὶν, ἀλλὰ τὴν μόνον ἴσχει ἐκ τῆς μίξεως καὶ διαλλάξεως τῶν μιγέντων στοιχείων. ὅτι μὲν οὖν παρεμφερῶς ταῦτα λέγουσι τῇ αὐτῶν ὑποθέσει δῆλον, καὶ ὅτι λέγουσι τὸν τρόπον τοῦτον. ὥστε ἀναγκαῖον μὲν τούτοις πράγματι διακρίνειν τῆς γενέσεως τὴν ἀλλοίωσιν, καὶ εἶναι ἕτερόν τι φάναι, ἀδύνατον δὲ κατὰ τὰ ὑπ᾽ ἐκείνων λεγόμενα. τοῦτο δὲ ὅτι λέγομεν ὀρθῶς ῥᾴδιον συνιδεῖν. πρῶτον μὲν γὰρ δῆλον ὅτι ἀναγκαῖον. ὥσπερ γὰρ σωζομένης τῆς αὐτῆς οὐσίας ὁρῶμεν ἐν αὐτῇ τὴν κατὰ τὸ μέγεθος μεταβολὴν, τὴν καλοῦμεν αὔξησιν, καὶ φθίσιν, οὕτως αὖ καὶ ἀλλοίωσις γένοιτο ἠρεμούσης τῆς αὐτῆς οὐσίας, καὶ μεταβαλλούσης πως κατὰ θέσιν ἢ τάξιν. ὥστε κατὰ τούτους γένεσιν μὲν συμβαίνειν καὶ φθορὰν, τῇ συγκρίσει καὶ διακρίσει, ἀλλοίωσιν δὲ τῇ μεταθέσει, καὶ μετατάξει, οὐ μὴν ἀλλ᾽ ἐξ ὧν ὑποτιθέασιν οἱ πλείους μιᾶς τὰς ἀρχὰς ποιοῦντες, ἀδύνατόν ἐστιν ἀλλοίωσιν γίνεσθαι. τὰ γὰρ πάθη καὶ αἱ ποιότητες, καθ᾽ ἃς φαμὲν τὸ ἀλλοιοῦσθαι συμβαίνειν, κατ᾽ ἐκείνους συστατικαὶ καὶ οὐσιώδεις διαφοραί εἰσι τῶν στοιχείων, λέγω δὲ οἷον τὸ θερμὸν, καὶ ψυχρὸν, τὸ λευκὸν, καὶ μέλαν, τὸ ξηρὸν καὶ ὑγρὸν, τὸ μαλακὸν καὶ σκληρὸν, καὶ τὰ τοιαῦτα πάντα, ὥσπερ καί φησιν Ἐμπεδοκλῆς.

„ Ἠέλιον μὲν λευκὸν ὁρᾶν, καὶ θερμὸν ἁπάντῃ,
Ὄμβρον δ᾽ ἐν πᾶσι ζοφόεντά τε, ῥιγαλέοντε.

Τοῦτέστι τὸ πῦρ, τοῦτο γὰρ ἔφασκε τὸν Ἥλιον λευκὸν ὁρᾶσθαι διὰ παντὸς καὶ θερμὸν εἶναι, ὄμβρον δὲ, δηλαδὴ τὸ ὕδωρ, ἀεὶ μέλαν τε καὶ ψυχρόν. τὰ αὐτὰ δὲ καὶ ἐπὶ τῶν λοιπῶν παθῶν διορίζει. ἐπειδὴ τοιγαροῦν ἀδύνατόν ἐστι μεταβαλεῖν τὰ πάθη ἠρεμούντων τῶν στοιχείων, τὰ δὲ στοιχεῖα κατ᾽ ἐκεῖνον οὐκ εἰσὶν εἰς ἄλληλα μεταβλητὰ, εἰ μὴ δυνατὸν ἐκ πυρὸς γενέσθαι ὕδωρ, μηδὲ ἐξ ὕδατος γῆν οὐδὲ ἐκ λευκοῦ μέλαν ἔσται οὐδὲν, οὐδὲ ἐκ μαλακοῦ σκληρόν. τοῦ δ᾽ αὐτοῦ λόγου καὶ περὶ τῶν ἄλλων παθῶν γινομένου, ὅλως ἀδύνατόν ἐστιν ἀλλοίωσιν γενέσθαι. αὕτη γάρ ἐστι μεταβολὴ κατὰ πάθος τῆς αὐτῆς ὑπομενούσης οὐσίας. ἢ καὶ φανερὸν ὅτι μίαν ἀεὶ ὑποθετέον ὕλην τοῖς ἐναντίοις, εἴτε μεταβάλλῃ κατὰ τόπον, εἴτε κατὰ αὔξησιν καὶ φθίσιν, εἴτε κατὰ ἀλλοίωσιν. ὅθεν εἰ κατὰ τούτους ἀδύνατον τὸ αὐτὸ στοιχεῖον ἠρεμοῦν δέχεσθαι τὰ ἐναντία, οὐδὲ

ἀλλοίω-

ΙΩΑΝΝΙΝΑ 2006

ἀλλοίωσις ἐνδέχεται γίνεσθαι, ἥτις ἐστὶν ἐκ τοῦ ἐναντίου πάθους εἰς τὸ ἐναντίον τοῦ αὐτοῦ ὑποκειμένου μένοντος μεταβολή. καὶ γὰρ ὁμοίως ἀναγκαῖον εἶναι ἓν ὑποκείμενον δεκτικὸν ἐναντίων, καὶ ἀλλοίωσιν. ἕπεται γὰρ θάτερον τῇ τοῦ ἑτέρου θέσει, καὶ τῇ ἀφαιρέσει συναναιρεῖται. εἴτε γὰρ ἀλλοίωσις ἐστὶ, καὶ τὸ ὑποκείμενον στοιχεῖον ἕν, καὶ μία ἡ πάντων ὕλη τῶν δυναμένων εἰς ἄλληλα μεταβάλλειν. καὶ εἰ τὸ ὑποκείμενον ἓν ὑπομένον δεκτικόν ἐστι τῶν ἐναντίων, ἐστὶν ἡ ἀλλοίωσις. Ἐμπεδοκλῆς μὲν οὖν ἔοικεν ἐναντία λέγειν πρὸς μὲν τὰς αἰσθήσεις, ὅτι ἀναιρεῖ τὴν ἀλλοίωσιν, πρὸς αὑτὸν δὲ, ὅτι ἅμα μὲν οὔ φησιν ἕτερον ἐξ ἑτέρου γίνεσθαι τῶν στοιχείων οὐδὲν, ἀλλὰ τἄλλα πάντα ἐκ τούτων, ἅμα δὲ ὅταν συναγάγῃ εἰς ἓν τὸν σφαῖρον τὴν ἅπασαν φύσιν, πλὴν τοῦ νείκους, ἐκ τοῦ σφαίρου γίνεσθαι, πάλιν λέγει, ἕκαστον τῶν στοιχείων, ὅπερ ἐν μὲν τῷ σφαίρῳ ἀποβεβληκὸς ἦν τὰς οἰκείας διαφορὰς, καὶ ἄποιον, ὁμοφυές τε, καὶ ἀδιάφορον πρὸς τὴν λοιπὴν ἅπασαν φύσιν. ἀπὸ δὲ τοῦ σφαίρου γιγνόμενον πάθεσί τισι χωρίζεται καὶ διακρίνεται, οἷον τὸν μὲν Ἥλιον τῷ λευκῷ καὶ θερμῷ, τὸ δὲ ὕδωρ, τῷ ζοφόεντι καὶ ῥιγαλέῳ, τὴν δὲ γῆν τῷ βαρεῖ καὶ σκληρῷ. ταῦτα δὲ ἀντίφασιν ἔχει φανερὰν, ὡς ἀφαιρετῶν τε, καὶ ἀναφαιρέτων τιθεμένων τούτων τῶν διαφορῶν. εἰ γὰρ ἀναφαίρετοί εἰσιν αἱ συστατικαὶ τῶν στοιχείων ποιότητες, πῶς ἀποβαλλομένων τούτων, καὶ κρατούσης τῆς φιλίας εἰς τὸν ἄποιον σφαῖρον ἅπαντα τὰ στοιχεῖα συνάγεται, καὶ ὡς ἐν ἑνὶ ὁμοειδεῖ τε καὶ ἀδιαφόρῳ σώματι ἀδιακρίτως πάντα συγκέχυται, οὐ σώζοντα τὰς ἰδιότητας αὐτῶν; πῶς δὲ πάλιν τοῦ νείκους ἐπικρατοῦντος ἑκάστῳ προσγίνονται αἱ εἰδοποιοὶ διαφοραὶ μέρει τοῦ σφαίρου, καὶ ποιοῦσι τὸ μὲν πῦρ, τὸ δὲ ὕδωρ; εἰ δὲ εἰσιν ἀφαιρεταὶ ὡς ἀποτιθέμεναί τε καὶ προσλαμβανόμεναι δῆλον, ὡς ἀνάγκη γίνεσθαι καὶ γῆν ἐξ ὕδατος, καὶ ὕδωρ ἐκ γῆς. ἀδιαφόρου γὰρ οὔσης καὶ ὁμοειδοῦς πάσης τῆς τοῦ σφαίρου φύσεως, οὐκ ἂν ἀδύνατον εἴη τὸ πρὸ τοῦ σφαίρου ὑφεστὸς ταῖς τοῦ πυρὸς διαφοραῖς, ἔπειτα ἐξαγόμενον τοῦ σφαίρου προσλαβεῖν τὰς τοῦ ὕδατος, ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον. εἰ δὲ τότε, πῶς μὴ καὶ νῦν μεταβάλλοντά γε τοῖς πάθεσιν; ἔστι γὰρ ἐξ ὧν εἴρηκε τὰ πάθη δυνάμενα προσγίνεσθαι, καὶ χωρίζεσθαι πάλιν, ἄλλως τε καὶ μαχομένων ἀλλήλοις ἔτι καὶ νῦν κατ᾽ αὐτὸν τοῦ νείκους, καὶ τῆς φιλίας, δι᾽ ἃ δὴ καὶ τότε ἐξ ἑνὸς τοῦ σφαίρου ἐγεννήθησαν τὰ στοιχεῖα. ὅτι δὲ ὁμοφυής ἐστι δῆλον. ἓν γάρ φησι τὸ πᾶν, καὶ τὸν σφαῖρον. πῶς δὲ ἓν εἴη πυρὸς ἤδη, καὶ ἀέρος, καὶ ὕδατος, καὶ γῆς ἔτι ὄντων. ἔτι δὲ ἄδηλον καὶ τὸ ποίαν ἀρχὴν αὐτῶν θετέον, τὸ ἕν, ἢ τὰ πολλὰ, καὶ πότερον τὸν σφαῖρον τῶν στοιχείων, ἢ ταῦτα τοῦ σφαίρου. ἡ μὲν γὰρ ὁ σφαῖρος ὡς ὕλη ὑπόκειται ἄποιος ὢν, διὰ τὴν κίνησιν τὴν ὑπὸ τοῦ νείκους γίνεται γῆ

καὶ

Ε.Τ.Α. ΙΩΑΝΝΙΝΑ 2006

καὶ πῦρ, οὗτος ἔσται τὸ πρῶτον στοιχεῖον. ἡ δὲ ὁ μὲν σφαῖρος ἐκ συνθέσεως γίνεται τῶν στοιχείων συνιόντων ὑπὸ τῆς συναγούσης φιλίας, αὐτὰ δὲ τὰ στοιχεῖα ἐκ διαλύσεως ἐκείνου γίνεται, ἐπεὶ δὲ μᾶλλον ἀρχαὶ τὰ ἐξ ὧν τι συντίθεται, ὡς ἁπλούστερα, καὶ πρότερα, ἔσται τὰ στοιχεῖα στοιχειωδέστερα τοῦ σφαίρου. πόρισμα εἴρηται τῷ Φιλοσόφῳ, ὅτι μία ἐστὶν ὕλη πάντων τῶν ἐχόντων εἰς ἄλληλα μεταβολήν. ἐξ οὗ δῆλον, ὅτι τὰ αἰθέρια σώματα οὐ τὴν αὐτὴν ἔχει τοῖς ὑπὸ Σελήνην ὕλην, ἀλλ' ἑτέραν. εἰ γὰρ μία ἡ πάντων ὕλη τῶν ἐχόντων εἰς ἄλληλα μεταβολὴν, ἄρα ἑτέρα ἐστὶ τῶν μὴ δυναμένων εἰς ἄλληλα μεταβάλλειν.

## Ἀπορίαι ἐπὶ τῆς λέξεως.

Πρῶτον, πῶς ἂν ὁ Φιλόσοφος φησὶν ἐξ ἀδιαιρέτων σωμάτων συγκεῖσθαι τὰ πάντα κατὰ Δημόκριτον; τοῦτο γὰρ ἄτοπον φαίνεται παντὶ τῷ γραμμάτων ἄκροις τε χείλεσι γευσαμένῳ, μὴ ὅτι γε Δημοκρίτῳ τῷ πόρρω σοφίας ἐληλακότι. τὰ γὰρ σώματα πάντα διαστατὰ, καὶ διὰ τοῦτο οὐκ ἀδιαίρετα. ἢ τάχα Δημόκριτος Φυσικῶς ἔλεγε τὰ τοιαῦτα σώματα ἀδιαίρετα, ἀλλ' οὐ Μαθηματικῶς. τὸ γὰρ σῶμα ᾗ ποσὸν ἔκτασιν ἔχει, καὶ διαιρεῖσθαι δύναται εἰς ἀεὶ διαιρετά. ᾗ δὲ Φυσικὸν, καίτοι μὴ διαστάσεως ἀμοιροῦν, ἀλλ' ὅμως ὅτι μὴ δυνατὸν ἐν ἐλάττονι σώζεσθαι τὴν τούτου φύσιν, διὰ τοῦτο ἀδιαίρετον ἐλέγετο πρὸ Δημοκρίτου. ἀλλὰ περὶ τούτων εἰρήσεται διὰ μακρῶν κατωτέρω.

Δεύτερον, εἴρηται τῷ Φιλοσόφῳ τοὺς πλείω τὴν ὕλην ἑνὸς τιθέντας ἕτερόν τι φάναι τὴν ἀλλοίωσιν παρὰ τὴν γένεσιν. τοῦτο δὲ μὴ ὀρθῶς εἰρῆσθαι δοκεῖ. καὶ γὰρ οὐ μόνον τὸ ἀλλοιοῦσθαι, ἀλλὰ καὶ τὸ γίνεσθαι καὶ φθείρεσθαι ὑποκειμένου δεῖται κοινοῦ, καὶ δεκτικοῦ τῶν ἐναντίων. τοιοῦτον δὲ μὴ δ' οἱ πλείω τὰ στοιχεῖα ποιοῦντες ἐτίθεσαν. ἀλλά γε μὴν ὁ Φιλόσοφος οὐκ ἔφη κατὰ τούτους ὀρθῶς διαστέλλεσθαι τὴν γένεσιν τῆς ἀλλοιώσεως, καὶ καλῶς ἀποδίδοσθαι, ἀλλὰ διακρίνεσθαί πως τὴν γένεσιν τῆς ἀλλοιώσεως, καίτοι μὴ κυρίως ἄμφω γινόμεναι. ὡς ἡ μὲν γένεσις τεχνικὴ μᾶλλον οὖσα, ἢ φυσικὴ, συνιόντων κατὰ παράθεσιν μόνον τῶν στοιχείων, ἀλλὰ μὴ μεταβαλλόντων, οὐδὲ ἀλλοιωθέντων. ἡ δὲ ἀλλοίωσις φαινομένη μᾶλλον ἐστὶν, ἢ πραγματιώδης, ὡς καὶ δείκνυται τῷ Φιλοσόφῳ εἰς ἀδύνατα τοὺς ταῦτα λέγοντας ἀπάγοντι.

Τρίτον, λέγεται Ἀναξαγόρας τὰ ὁμοιομερῆ στοιχεῖα καὶ ἁπλᾶ τιθέναι, εἶτα πῦρ καὶ ἀέρα, καὶ ὕδωρ, καὶ γῆν σύνθετα ποιῆσαι, πῶς δὲ τοῦτο δυνατὸν, οὐχ ἧττον αὐτὰ τῶν λοιπῶν ὄντα ὁμοιομερῆ, ἅτε δὴ συνωνύμων ὑπαρχόντων τῶν ἐν τούτοις μερῶν. ἢ ὅτι οὐχ ἁπλῶς Ἀναξά-

γόρας περὶ ὀστοῦ καὶ σάρκα, καὶ τὰ τοιαῦτα ὁμοιομερῆ ἔφασκε, ταῦτα γὰρ εἰσὶ διαιρετὰ, ἐκεῖνος δὲ τὰ ὁμοιομερῆ, ἃ ἀρχὰς τῶν ὄντων ἐποίει, ἀδιαίρετα ἐτίθετο. εἰ γὰρ ἦν διαιρετὰ, εἶχον μὲν ἀρχὰς, ἐξ ὧν συνέκειντο, καὶ οὐκ ἦσαν αὐτὰ ἀρχαί. ἀλλὰ ἀρχὰς ἔλεγε τὰς ὁμοιομερείας σαρκὸς, ὀστοῦ, μυελοῦ, καὶ πυρὸς, καὶ ὕδατος, καὶ τῶν ἄλλων ὁμοίως, ἀδιαιρέτους οὔσας καὶ ἀτόμους. αὐτὰ δὲ τὰ διαιρετὰ ὀστᾶ, ἢ σάρκας, καὶ τὰ τοιαῦτα, οὐκ ἀρχὰς, οὐδ᾽ ἁπλῶς ὁμοιομερῆ, ἀλλὰ φαινόμενα, καὶ ἐκ τῶν ἐπικρατουσῶν ὁμοιομερειῶν τοιαῦτα. ἔλεγε δὲ καὶ πᾶν εἶναι ἐν παντὶ, κἀκεῖνα μᾶλλον εἶναι σύνθετα, ἃ πλείους τοῖς εἴδεσι καὶ διαφόρους ὁμοιομερείας συνεῖχον. ἐπειδὴ τοιγαροῦν τὰ στοιχεῖα πῦρ, καὶ ἀὴρ, καὶ ὕδωρ, καὶ γῆ παντοίων ὁμοιομερειῶν εἰσὶ πανσπερμία, ταῦτα μᾶλλον, ἢ ὀστοῦν καὶ σὰρξ ἐνομίζετο τῷ Ἀναξαγόρᾳ σύνθετα.

Τέταρτον ἐνσταίη αὖτις, ὅτι οὐκ ἀληθές ἐστι μίαν εἶναι ἐξ ἀνάγκης τὴν ὕλην τῶν εἰς ἄλληλα μεταβαλλόντων. τὰ γὰρ στοιχεῖα ἐξ ἀλλήλων μεταβάλλουσιν, ὡς δειχθήσεται. οὐ μήν γε τούτων πάντων μία ἐστὶν ἡ ὕλη. γέγραπται γὰρ ἐν τῷ τετάρτῳ περὶ Οὐρανοῦ, μορίῳ λζʹ. ἀνάγκη καὶ τὰς ὕλας τοσαύτας εἶναι, ὅσαπερ ταῦτα, δηλαδὴ τὰ στοιχεῖα, ἢ ὅτι τῆς ὕλης ἡ μέν ἐστι πάσης διαφορᾶς ἄμοιρος, ἥτις καὶ ἄποιος λέγεται καὶ ἀνείδεος, ὡς οὐδὲν οὖσα καθ᾽ ἑαυτὴν, ἡ δὲ ταῖς διαθέσεσιν ἤδη εἴς τι τῶν εἰδῶν ὡρισμένη. καὶ ἡ μὲν πρώτη κοινή ἐστι καὶ μία πάντων τῶν ἐχόντων εἰς ἄλληλα μεταβολήν. ἡ δὲ δευτέρα, ἥτις καὶ προσεχὴς λέγεται καὶ ὡρισμένη, πολλαπλάσιος. περὶ ἧς ὁ Φιλόσοφος φησὶν ἐν τῇ προκειμένῃ περικοπῇ προστιθεὶς, οὕτω δὲ τέτταρας, ὡς μίαν μὲν ἁπάντων τὴν κοινὴν, ἄλλως τε κἂν εἰ γίγνωνται ἐξ ἀλλήλων, ἀλλὰ τὸ εἶναι ἕτεραι.

Πέμπτον φησὶν ὁ Φιλόσοφος, ὅτι εἰ ἀφαιρεταί εἰσιν αἱ διαφοραὶ τῶν στοιχείων, ἀνάγκη ἐξ ἀλλήλων γίνεσθαι, οὐκ ἐκ τοῦ σφαίρου μόνον, ἀλλὰ καὶ νῦν μεταβάλλον τάγε τοῖς πάθεσι. τοῦτο δὲ ἅμα τε Ἐμπεδοκλεῖ, καὶ αὐτῷ Φιλοσόφῳ ἀντιπίπτει. ὁμοίως γὰρ ἀφαιρετὰς τίθησι τὰς τῶν στοιχείων εἰδοποιοὺς διαφορὰς, οὐ μὴν ποιεῖ τὰ στοιχεῖα γεννητὰ, καὶ φθαρτὰ κατὰ τὸ ὅλον, καθάπερ ἔδει γενέσθαι ὡς ἀφαιρετὰς ἐχόντων τὰς ποιότητας. ἢ οὐ συνήγαγεν ὁ Φιλόσοφος κατὰ τοῦ Ἐμπεδοκλέους τὰ στοιχεῖα κατὰ τὸ ὅλον γίνεσθαι καὶ φθείρεσθαι, ἀλλ᾽ ὅτι κἂν γοῦν κατὰ μέρος μεταβολῆς εἰσὶ δεκτικὰ, ἢ καίτοι τὰ στοιχεῖα γεννητά εἰσι καὶ φθαρτὰ, καὶ δυνάμενα εἰς ἄλληλα μεταβάλλειν, ἀλλ᾽ οὖν οὐδέποτε φθείρεται κατὰ τὸ ὅλον, τὴν τούτων σωτηρίαν ἀπαιτούσης τῆς συστάσεως τοῦ παντός. ἀλλ᾽ εἰρήσεταί που καὶ περὶ τούτου.

Ἕκτον, τελευταῖον πῶς εἴρηται τῷ Φιλοσόφῳ ἀνάγκη μίαν ὑποτιθέναι τοῖς ἐναντίοις ὕλην αὖ τε μεταβάλλῃ κατὰ τόπον, αὖ τε κατὰ αὔξη-

σιν

Ε. ΔΑΠΙΚ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σιν καὶ φθίσιν, ὥστε κατ' ἀλλοίωσιν, τοῦτο δὲ συγκεχωρήσθω ἐπὶ τῆς κατὰ τὸ ποιὸν μεταβολῆς, οὐ μὴν ἀληθὲς δοκεῖ ἐπὶ τῆς αὐξήσεως, καὶ φθίσεως, καὶ τῆς κατὰ τόπον κινήσεως, εἰ μὴ βούλῃ ἐναντία φάναι καὶ τὰ μὴ κυρίως τοιαῦτα, οἷον τὸ τέλειον καὶ ἀτελὲς μέγεθος, καὶ τὰς ἀντικειμένας τοῦ τόπου διαφοράς, ἀλλ' ὁ Φιλόσοφος ἐναντία νοεῖ τὰ ἐξωθητικὰ ἀλλήλων ἐκ τοῦ αὐτοῦ ὑποκειμένου. τὰ γὰρ οἱανδήποτε ἐναντίωσιν ἔχοντα ἐγκρίνουσι καὶ οἱ ἀμφὶ τὸν Ἐμπεδοκλέα, ἢ ὅτι ἡ μὲν αὔξησις καὶ φθίσις γίγνεται ἀλλοιωθέντος τοῦ ἀνομοίου, καὶ μεταβαλόντος εἰς τὸ ὅμοιον, ἢ εἰς τὸ ἀνόμοιον τοῦ ὁμοίου. ἡ δὲ κατὰ τόπον κίνησις ἐν πολλοῖς μὲν σαφῶς συνεπιφέρει καὶ τὴν κατὰ τὰς πρώτας ποιότητας μεταβολήν, ἐν πᾶσι δὲ ῥάδιον ἐστὶ συνιδεῖν, ὅτι ἀδύνατον γενέσθαι κατὰ τόπον μεταβολήν, μὴ ὑποτεθειμένης τῆς δεκτικῆς τῶν ἐναντίων ὕλης. ἅπαντα γὰρ τὰ κατ' ἀλήθειαν κινούμενα ἐκ τῆς δεκτικῆς τῶν ἐναντίων ὕλης συνίσταται.

## ΖΗΤΗΜΑ ΠΡΩΤΟΝ.

### „ Πότερον τὰ φύσιν ἔχοντα φύσει λέγεται φθείρεσθαι.

ΠΟλλαχῶς ἀντιφέρονται οἱ νεώτεροι τῷ Φιλοσόφῳ, οἱ μὲν ἥκιστα κατὰ φύσιν ἕπεσθαι τοῖς φύσιν ἔχουσι τὴν φθορὰν διισχυριζόμενοι, οἱ δὲ ἁπλῶς τε καὶ πρώτως τῆς φθορᾶς στοχάζεσθαι τὴν φύσιν διαμαχόμενοι, ὧν οἱ πρῶτοι τοιούτοις ἐρείδονται λόγοις, ἐκ τοῦ δευτέρου περὶ Φυσικῆς Ἀκροάσεως. φύσις ἐστὶ κυρίως τὸ εἶδος, τὰ δ' ἄλλα πάντα διὰ τὸ εἶδος μετέσχηκε τοῦ ὀνόματος τούτου, ὡς λέγεται ἐν τῷ πέμπτῳ τῶν μετὰ τὰ Φυσικά, ἡ δὲ φθορὰ πάντως ἀντίκειται τῷ εἴδει, οὐκ ἔστιν ἄρα φυσικὴ κίνησις. πρὸς τούτοις ἡ φθορὰ οὐ μόνον ἐναντία τῷ εἴδει, ἀλλὰ καὶ τῷ συνθέτῳ καὶ τῇ ὕλῃ. τῇ μὲν, ὅτι ταύτην τοῦ εἴδους γυμνοῖ, τῷ δὲ ὅτι φθείρει, καὶ ἐξαφανίζει. τῷ δὲ εἴδει, ὅτι ἀποβάλλει καὶ ἀπωθεῖ. δεύτερον, τοῦ μὴ ὄντος ἡ φύσις ἥκιστα στοχάζεται, ἀλλὰ μὴν ἡ φθορὰ στέρησις ἐστὶ καὶ μὴ ὄν, ἄρα ταύτης οὐ μέλει τῇ φύσει. τρίτον. πολλάκις βίᾳ φθείρεται τὰ πράγματα, καὶ μάλιστά γε τῶν ζώντων ὅσα κτείνεται, καὶ τοῦ ζῆν ἀωρεὶ στερεῖται. ἀλλὰ μὴν οὐδὲν βίαιον κατὰ φύσιν, ὡς ὁ Φιλόσοφος πέμπτῳ τῶν Φυσικῶν παραδέδωκεν, ἄρα κἂν γοῦν αἱ βίᾳ γινόμεναι φθοραί, οὐκ εἰσὶ κατὰ φύσιν, τούτοις ἐκ διαμέτρου τινὲς ἀντικείμενοι, διαβεβαιοῦσιν ἴσα τῇ γενέσει στοχάζεσθαι τῆς φθορᾶς τὴν φύσιν.



ΙΩΑΝΝΙΝΑ 2006

## Περιττόν.

Πρῶτον γὰρ τῶν πρὸς τὸ τέλος ἀναγκαίων μέσα φασὶ καθ' ἑαυτὰ σκοπεῖσθαι. ἀλλὰ μὴν ἡ φθορὰ μέσον ἐστί, δι' οὗ τὸ εἶδος πορίζεται, ἄρα τῆς γενέσεως οὐχ ἧττον ἐστὶ σκόπιμος τῇ φύσει. δεύτερον. ἡ τοῦ παντὸς τελειότης ἐκ τῆς μάχης τῶν ἐναντίων ἀναλάμπει, ἅμα ταῦτα γὰρ φθορὰ γένεσιν, καὶ γένεσις φθορὰν διαδέχεται, καὶ κατὰ τὸ εἶδος τῆς ἀϊδιότητος μετέχει τὰ ὑπὸ Σελήνην. ἀλλὰ μὴν ἡ τοῦ παντὸς διακόσμησις, καὶ ἡ τῶν εἰδῶν σωτηρία σκοπιμώτατα ἐστὶ τῇ φύσει, καὶ ἡ φθορὰ ἄρα, ἐξ ἧς ἀμφότερα σώζεται. τρίτον. ἄρα ἡ φύσις οὐ καθ' ἑαυτὸ στοχάζεται τῆς φθορᾶς ὅτι κακόν; πάνυγε, ἀλλ' οὐκ ἔστι τοιοῦτον. πῶς γὰρ ἡ τοῦ παντὸς τελειότης ἵδρυτ' ἂν ἐν τῷ κακῷ; ταῦτα τοι ἀμφοτέρωθεν ἐπιχοῦσιν οἱ νεώτεροι. ἵνα δὲ ὡς ἀπὸ σκοπιᾶς τινος τῆς Ἀριστοτελικῆς λέξεως καταθεασώμεθα τίνι τρόπῳ Φυσικὴ λέγεται ἡ φθορά, καὶ ὅπως ταύτην ἡ φύσις σκοπεῖται, ἰστέον, ὅτι τριχῶς ἐν τῷ περιπάτῳ λέγεται τὸ Φυσικόν, ἢ ἀντίκειται τῷ κατὰ τέχνην, ἢ πρὸς ὅπερ ἡ φύσις νεύει ὡς τελειωτικὸν ἑαυτῆς, καὶ ἢ παρέπεται τῇ φύσει. δεύτερον, ὅτι ἡ φθορὰ ἀναφέρεται πρὸς τὴν ὕλην, τὸ εἶδος, καὶ τὸ ἐξ ἀμφοῖν. τρίτον, ὅτι τὸ καθ' ἑαυτὸ σκοπούμενον ἐστίν, οὗ δι' ἑαυτό, καὶ μὴ δι' ἄλλο στοχαζόμεθα. τούτων δὲ οὕτως ἐκτεθέντων, φανερόν ἐστιν, ὅτι ἡ φθορὰ κατὰ φύσιν λέγεται, ὡς μὴ τῶν κατὰ τέχνην οὖσα πρός τε τὴν ὕλην καὶ τὸ εἶδος, καὶ αὐτὸ δὲ τὸ σύνθετον ἀναφερομένη. τῇ γὰρ ὕλῃ προσήκει ὡς ὑποκειμένῳ, δεκτικὴ γὰρ ἐστι τῆς γενέσεως, καὶ φθορᾶς τῶν ἐναντίων, ὡς περὶ αὐτῆς μαχομένων, ἐξωθουμένων τε, καὶ ἐπικρατούντων ἀμοιβαδόν, αὐτῷ δὲ τῷ εἴδει ὡς ἀποβαλλομένῳ. φθορὰ γάρ ἐστιν ἡ τοῦ εἴδους ἔξωσις, καὶ αὐτῷ δὴ τῷ συνθέτῳ, τοῦτο γάρ ἐστι τὸ κυρίως φθειρόμενον φύσει, ὡς μὴ μένον ὅλως μετὰ τὴν φθοράν. καθὸ δὲ τὸ κατὰ φύσιν τὰ πολλὰ τελειότητος ἐστὶ παραίτιον, εἴτε δι' ἑαυτό, εἴτε δι' ἄλλο, λέγοιτ' ἂν ἡ φθορὰ κατὰ φύσιν μόνον ὑπάρχειν τῇ ὕλῃ, οὐ μήνγε τῷ εἴδει, οὐδὲ τῷ συνθέτῳ, τούτων γὰρ ἐστὶν ἀναιρετική, ἐκείνῃ δὲ προξενεῖ τὸ ἐπιφοιτῶν εἶδος, πρὸς ὅπερ οὐχ ἧττον ἢ τὸ πρότερον ἡ ὕλη καθ' ἑαυτὴν ἔσχηκεν ἀδιαφόρως. εἰ δὲ κατὰ φύσιν ἐστί, τὸ κατὰ φύσιν ἑπόμενον πραγματεύεται, δῆλον ἐστίν, ὅτι ἡ φθορὰ κατὰ φύσιν παρακολουθεῖ τῇ ὕλῃ, τῷ εἴδει, καὶ τῷ συνθέτῳ, κατὰ τὸν προσήκοντα τούτων ἑκάστῳ τρόπον. καὶ γὰρ οἷς ἡ δύναμις ὑπάρχει κατὰ φύσιν, τούτοις ἡ ἐνέργεια φύσει προσήκει, ὡς ἐκ τῆς τοιαύτης δυνάμεως ἀναβλαστάνουσα. τὸ δὲ φθαρτὸν καὶ τρεπτὸν φύσει πρόσεστι τῷ εἴδει καὶ τῷ συνθέτῳ, καὶ ἡ φθορὰ

ἄρα

ΙΩΑΝΝΙΝΑ 2006

ἄρα τούτοις κατὰ τὴν ἑαυτῶν παρέπεται φύσιν. ὅθεν ἡ φθορὰ τῇ μὲν ὕλῃ καίτοι καθ' ἑαυτὴν ἀφθάρτῳ παρομαρτεῖ ὡς δεκτικῇ τῶν ἐναντίων, καὶ δυνάμει οὔσῃ, καὶ πάσης ἀρχῇ καὶ πηγῇ μεταβολῆς, τῷ δὲ εἴδει ὡς ἀδιαιρέτῳ τε ὄντι καὶ ῥητῷ χρόνῳ τοσούτῳ σωζομένῳ, ὅσῳ περ ἂν διατηρῆται ἡ πρὸς τὸ ἐναντίον ἐκεχειρία, καὶ παῦλα τῆς μάχης. τῆς γὰρ ἀνακωχῆς ταύτης ἀναιρεθείσης, καὶ πολέμου συῤῥαγέντος, τὸ ἡττημένον ἐξωθεῖται, καὶ φθαρῆναι λέγεται. αὐτὰ δὲ τὰ σύνθετα φύσει φθείρεται, ὅτι τε ἐξ ὕλης σύγκειται ἐπιδέκτου τῶν ἀντιθέτων εἰδῶν, καὶ ἐξ εἴδους ἔχοντός πως ἐναντίον. ἐκ τούτων δὲ συνιδεῖν ἐστι ῥᾴδιον τὸν τρόπον τῆς φθορᾶς ἡ φύσις στοχάζεσθαι λέγοιτ' ἄν. καὶ γὰρ δύο ταῦτα μάλιστα τῶν ἄλλων ἀναγκαῖα εἰς γένεσιν καὶ φθοράν, τό, τε ποιοῦν, καὶ τὸ ὑποκείμενον, τὸ μὲν τὴν οἰκείαν προβάλλον ἐνέργειαν, ὅπως ἂν ἐξομοιώσῃ ἑαυτῷ τὸ πάσχον, καὶ μὴ δυνάμενον μεταβάλλειν αὐτὸ ἄνευ τῆς τοῦ προϋπάρχοντος εἴδους μεταβολῆς, καίτοι πρώτως στοχάζεται τῆς γενέσεως τοῦ ὁμοίου εἴδους, ἀλλ' ὅμως κατὰ δεύτερον τρόπον καὶ τῆς ἐξωθήσεως φροντίζει τῆς ἀνομοίου μορφῆς. ὡς ἅτε μὴ οἵων τε ὄντων συνυπάρχειν ἐν τῷ αὐτῷ ὑποκειμένῳ ἀμφοτέρων τῶν ἐναντίων. ὅθεν σκόπιμος ἐστὶν ἡ φθορὰ οὐχ ὡς τέλος, ἀλλ' ὡς μέσον τῇ φύσει. διὸ δὴ καὶ ὁ Φιλόσοφος κατεγέλα τοῦ ποιητοῦ ἐν τῷ δευτέρῳ περὶ Φυσικῆς Ἀκροάσεως, τέλος εἰπόντος τὸν θάνατον, αὐτὸ δὲ τὸ πάσχον καὶ ἡ ὕλη τοῦ εἴδους ἐφιεμένον, ὡς τὸ θῆλυ τοῦ ἄῤῥενος, ἔοικε μᾶλλον ἐπιθυμεῖν τῆς γενέσεως τοῦ εἴδους, ἢ τῆς φθορᾶς, ἢ καὶ ταύτης ὡς μὴ δυναμένου προσγίνεσθαι τοῦ ἐπιφοιτῶντος εἴδους ἄνευ τῆς ἐκβολῆς, τοῦ πρὸ αὐτοῦ ἥκιστ' ἀντιστρόφως ἔχει. τῶν γὰρ εἰς τὸ τέλος συντεινόντων τὸ τοῦ τέλους ἐφιέμενον ἀναμφιβόλως γλίχεται.

## Ἀπόκρισις τῶν ἀντικειμένων λόγων.

Πρὸς δὲ τοὺς ἀντικειμένους λόγους ἀπαντῶμεν. καὶ πρὸς μὲν τὸν πρῶτον φαμέν, ὅτι ἡ φθορὰ οὐ παντὶ εἴδει ἐναντία ἐστὶν, ἀλλὰ τῷ ἀπογιγνομένῳ μόνον, εἰς δὲ τὸ ἐπερχόμενον συντείνειν ὁμολογεῖται, μήτιγε ἀντιπίπτειν. πρόσθες, ὅτι κατὰ φύσιν ἡ φθορὰ λέγεται, ὡς παρεπομένη τῇ φύσει τῶν πραγμάτων, ἀλλ' οὐχ ὡς ἀντικειμένη τῷ εἴδει. ταύτῃ τοι καὶ πρὸς τὴν ἔνστασιν ἀποκρινόμεθα. εἰ γὰρ τοῦ προϋπάρχοντος εἴδους γυμνοῖ τὴν ὕλην, ἀλλ' ὅμως πρόξενός ἐστι τῆς προσγινομένης μορφῆς, ὁμοίως δὲ εἰ τοῦ συνθέτου ἀφανιστική ἐστιν, ἀλλ' ἑτέρου γεννητικὴ φαίνεται, ὡς ἑπομένης ἀεὶ τῇ φθορᾷ τῆς γενέσεως. πρὸς δὲ τὸ δεύτερον ἐπιχείρημα πρόχειρος ἡ ἀπάντησις. εἰ γὰρ καὶ ἡ φθορὰ ὡς μὴ ὂν ἐστι, παραβαλλομένη τῇ γενέσει, καὶ θεωρουμένη τῷ λόγῳ τοῦ δυνάμει

ὄντος,

ὄντος, καθ' ὃ μηδὲν ἄλλο ἐστὶν, ἥπερ ἡ τῆς στερήσεως ἀποβολὴ, ἡ δὲ θατέρου τῶν ἐναντίων ἐξώθησις ἐστὶ, κυρίως οὖσα τυγχάνει μεταβολή. πρὸς τὸ τρίτον δὲ φαμὲν, ὅτι ἡ φθορὰ βίαιος λέγεται, ὡς ἀντίκειται τῇ κατὰ φύσιν φθορᾷ. ἡ μὲν γὰρ ἔξωθεν βίᾳ γίνεται, ἡ δὲ ἐξ ἐνδογενοῦς αἰτίας οὐ βίᾳ. πρὸς δὲ τοὺς φάσκοντας ὅτι καὶ πρὸς τὴν φθορὰν ἡ φύσις ἁπλῶς ἀφορᾷ, ἀπαντητέον ὡς οὐκ ἀληθές ἐστι τοῦ μέσου καθ' ἑαυτὸ στοχαστικὴν εἶναι τὴν φύσιν, ἀλλ' ἕνεκα τοῦ τέλους. ἐπειδὴ τοιγαροῦν ποριστικὴ τοῦ εἴδους ἡ γένεσις, ταύτης ἡ φύσις ἡγουμένως ὀρέγεται, ἑπομένως δὲ καὶ κατὰ συμβεβηκὸς τῆς φθορᾶς, ὡς συντεινούσης εἰς ἀντιποίησιν τοῦ τέλους, καίτοι μὴ καθ' ἑαυτὴν, ἀλλὰ διὰ τῆς συμπαρομαρτούσης αὐτῇ γενέσεως. ὅτι δὲ οὐχ ἧττον ἐκ τῆς φθορᾶς ἢ τῆς γενέσεως ἡ τοῦ παντὸς ἀναφύεται διακόσμησις, ἀληθὲς μὲν, οὔτοιγε ἁπλῶς, ἀλλ' ἐκ μὲν τῆς γενέσεως καθ' ἑαυτὸ, κατὰ συμβεβηκὸς δὲ ἐκ τῆς φθορᾶς. ἀληθὲς γὰρ ὅτι ἡ φθορὰ αἰσχρόν τι ἐστὶν, οὐ μὴν διὰ τοῦτο ἄτοπον, καὶ ἀπεμφαῖνον ἐστὶν ἐπ' αὐτῇ ἱδρῦσθαι τὴν τοῦ εἴδους διαδοχὴν, καὶ τὴν τοῦ παντὸς τελειότητα. καὶ γὰρ ἡ στέρησις, καὶ ἡ ἀναίρεσις, ὡς μὲν ἀποφάσεις αἰσχραὶ λέγονται, καθὸ δὲ τὴν δύναμιν ὑποτιθέασιν εἰς ὑποδοχὴν ὄντος, ἢ προβολὴν ἐνεργείας, ἄριστα συντείνειν λέγεται εἰς τελειότητα. εἶτα ποστημόριον ἐστὶ τὰ γεννητὰ καὶ φθαρτὰ τῶν ἀγεννήτων, ὥστε δεδιέναι, μὴ τὴν τοῦ παντὸς διακόσμησιν ἐρηρεῖσθαι σαθρῷ θεμελίῳ. καὶ ταῦτα μὲν ἀποχρώντως περὶ τοῦ προτεθέντος ζητήματος. λάβωμεν δὲ τὸ δεύτερον κεφάλαιον ἐς χεῖρας.

# ΠΑΡΑΦΡΑΣΙΣ

## ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΚΕΦΑΛΑΙΟΥ.

### Ὅτι ἀδύνατον εἶναι τὴν γένεσιν σύγκρισιν οἷάνδήτινες φασι.

ΚΑὶ ταῦτα μὲν ὡς εἴρηται τῆς πάλαι τοῖς τε μὴ διακρίνουσι γένεσιν ἀλλοιώσεως, καὶ τοῖς δοκοῦσιν ἀφορίσασθαι ταύτας τὰς κινήσεις. ἡμεῖς δὲ σκεψώμεθα τί λεκτέον ἐστὶν ὅλως καὶ ἀκριβῶς περὶ γενέσεως, καὶ φθορᾶς τῆς ἁπλῆς, οἷον πότερον ἐστὶν, ἢ οὐκ ἔστιν, καὶ πῶς ἐστι. ἄριστα γὰρ τοῖς ζητήμασι τούτοις ἐξακριβοῦται ἡ περὶ τούτων ἔρευνα. δεύτερον δὲ καὶ περὶ τῶν ἄλλων ἁπλῶν κινήσεων, οἷον περὶ αὐξή-



ΙΩΑΝΝΙΝΑ 2006